ed. I. Thurn, CFHB 36, Berlin – New York 2000

ΛΟΓΟΣ ΙΗ'

ΧΡΟΝΩΝ ΙΟΥΣΤΙΝΙΑΝΟΥ ΒΑΣΙΛΕΩΣ ⟨ΚΑΙ⟩ ΠΤΩΣΙΣ Σ' ΑΝΤΙΟΧΕΙΑΣ

1 Μετὰ δὲ τὴν βασιλείαν Ἰουστίνου ἐβασίλευσεν *μοναρχήσας* ὁ θειότατος Ἰουστινιανὸς ἔτη λη' καὶ μῆνας ζ' καὶ ἡμέρας ιγ' ἐν μηνὶ *ξανθικῷ τουτέστι* ἀπριλλίῳ πρώτῃ, ἰνδικτιῶνι πέμπτῃ, ἔτους χρηματίζοντος κατὰ Ἀντιόχειαν πεντακοσιοστοῦ ἑβδομηκοστοῦ πέμπτου, ἐπὶ τῆς ὑπατείας Μαβορτίου *ἐν Ῥώμῃ*. ἦν δὲ τῇ ἰδέᾳ κονδοειδής, εὔστηθος, εὔρινος, λευκός, οὐλόθριξ, στρογγυλόψις, εὔμορφος, ἀναφάλας, ἀνθηροπρόσωπος, μιξοπόλιος τὴν κάραν καὶ τὸ γένειον, μεγαλόψυχος, χριστιανός. ἔχαιρε δὲ τῷ Βενέτῳ μέρει, καὶ αὐτὸς δὲ ὢν Θρᾷξ ἀπὸ Βεδεριάνας. *τὴν δὲ Ῥωμαϊκὴν γλῶσσαν ὁμιλῶν ἐσφάλλετο, ἀλλ' ἔγραφεν αὐτὴν εὐχερῶς.*

2 Ὁ δὲ αὐτὸς βασιλεὺς ἐπὶ τῆς ἕκτης ἐπινεμήσεως τῷ ὀκτωβρίῳ μηνὶ προηγάγετο κόμητα ἀνατολῆς ἐν Ἀντιοχείᾳ ὀνόματι Πατρίκιον, Ἀρμένιον· ᾧτινι δέδωκε χρήματα πολλά, κελεύσας | αὐτῷ ἀπελθεῖν καὶ ἀνανεῶσαι πόλιν τῆς Φοινίκης εἰς τὸ λίμιτον τὴν λεγομένην Πάλμυραν καὶ τὰς ἐκκλησίας καὶ τὰ δημόσια, κελεύσας καὶ ἀριθμὸν στρατιωτῶν μετὰ τῶν λιμιτανέων καθέζεσθαι ἐκεῖ καὶ τὸν δοῦκα Ἐμίσσης πρὸς τὸ φυλάττε-

cap. 1 Chron. Pasch. 616,19–617,1.11–15 Theoph. 173,13–14. 241,3–4 Cedr. 642,10–15 Georg. Mon. 627,2–3 Leo Gramm. 125,10 Cramer, Anecd. Paris. 2,320,10 Niceph., Chron. 98,15 Anon. Matr. 61,15 Chron. synt. 102,12 Chron. epit. 28,16–17 Theod. Scut. 94,19 Zon. 3,173,14–16 Leo Gramm. 125,10–13 Cramer, Anecd. Paris. 2,320,11–13 Cedr. 642,12–14 Proc., Anecd. 8,11–21; 7 Euagr. 4,32 (181,18–20) cap. 2 Theoph. 174,11–16 Proc., De aed. 2,11,10–12

cap. 1 O Sl cap. 2 O

1–2 λόγος ιη' (img.) – 'Ιουστινιανοῦ O: λόγος ιζ' πτῶσις ς' Ἀντιοχείας Sl 3 καὶ addidi 4 μοναρχήσας ex Sl Chron. Pasch. (cf. Cedr. 642,15) addidi 5–6 ἔτη – πέμπτῃ O: rectiorem, sed del. versionem praebet Sl: ἔτη ψηφιζόμενα ἀφ' οὗπερ ἀνηγορεύθη βασιλεὺς ἐν μηνὶ ξανθικῷ τουτέστι ἀπριλλίῳ δ', ἰνδικτιῶνι πέμπτῃ (sine numero annorum); sed cf. Chron. Pasch. 617,11–15 (: ἔτη λη', μῆνας ια') ξανθικῷ τουτέστι ex Sl Chron. Pasch. 617,14 addidi 6 πρώτῃ O Chron. Pasch. 617,15: δ' Sl 8 ἐν Ῥώμῃ ex Sl addidi κοντοειδής O: corr. Dind. 8–11 εὔστηθος – Βεδεριάνας (Βεδεριανὰς O) O: om. Sl στρογγύλοψις hic aliter ac alias O 11 Θρᾷξ O: corr. Kamb. Βεδεριανὰς O: corr. Dind. 11–12 τὴν δὲ Ῥωμαϊκὴν – εὐχερῶς haec vel similia Sl: om. O 16 πόλιν – λίμιτον O: πόλιν τῆς Φοινίκης Λιβανησίας εἰς τὸ λιμιτὰν τὸ ἐσώτερον Theoph. 174,13–14 16. 27 Παλμύραν O: corr. Dind.

σθαι τὰ Ῥωμαϊκὰ καὶ Ἱεροσόλυμα. ἡ δὲ Πάλμυρα πρῴην μὲν μεγάλη ὑπῆρχεν, ἐπειδὴ ὁ Δαβὶδ ἐν αὐτῷ τῷ τόπῳ πρὸ τοῦ κτισθῆναι πόλιν ἐμονομάχησε μετὰ τοῦ Γολιὰθ ὡπλισμένῳ ὄντι. ὅστις Γολιὰθ λίθῳ λαβὼν ἔπεσεν, καὶ δραμὼν ὁ Δαβὶδ ἀπεκεφάλισεν αὐτὸν εἰς ὃ ἐπεφέρετο ὁ Γολιὰθ ξίφος, καὶ τὴν κεφαλὴν αὐτοῦ λαβὼν κατέσχεν ἐπὶ ἡμέρας, καὶ εἶθ' οὕτως ἐν Ἱεροσολύμοις εἰσήγαγεν αὐτὴν μετὰ νίκης ἔμπροσθεν αὐτοῦ εἰς κοντὸν βασταζομένην. διὰ τοῦτο Σολομὼν ὁ βασιλεὺς ὑπὲρ τῆς νίκης τοῦ αὐτοῦ πατρὸς Δαβὶδ ἐποίησεν αὐτὴν πόλιν μεγάλην, ἐπιθεὶς αὐτῇ τὸ ὄνομα Πάλμυραν, ὡς γενομένην μοῖραν τῷ Γολιάθ. τὸ δὲ πρῴην ἐφύλαττεν ἡ αὐτὴ πόλις καὶ τὰ Ἱεροσόλυμα, ὅθεν καὶ Ναβουχοδονόσορ ὁ βασιλεὺς Περσῶν δι' αὐτῆς παρελθὼν πρώτην αὐτὴν παρέλαβε πολλῷ κόπῳ· ἐφοβεῖτο γὰρ ὄπισθεν αὐτὴν ἐᾶσαι· πλῆθος γὰρ στρατιωτῶν Ἰουδαίων ἐκάθητο ἐκεῖ· ἥντινα παραλαβὼν καύσας ἔστρεψεν, καὶ οὕτως τὴν Ἱερουσαλὴμ παρέλαβεν.

3 Ὁ δὲ αὐτὸς Ἰουστινιανὸς δέδωκεν ὑπατείαν τῇ ἕκτῃ ἐπινεμήσει τῷ Ἰανουαρίῳ μηνὶ *καὶ τοσαῦτα ἔρριψε χρήματα ὡς οὐδεὶς βασιλεὺς ἕτερος ὑπατεύσας.* |

4 Ἐν δὲ τῷ αὐτῷ χρόνῳ ὁ Πέρσης ἐπολέμησεν τῷ Λαζῶν βασιλεῖ Ζταθίῳ ὡς προσρυέντι Ῥωμαίοις. ὁ δὲ Λαζῶν βασιλεὺς πέμψας ἐδεήθη τοῦ βασιλέως Ἰουστινιανοῦ, αἰτῶν βοήθειαν παρ' αὐτοῦ λαβεῖν· καὶ πέμψας αὐτῷ *πλῆθος στρατιωτῶν* ὁ βασιλεὺς Ἰουστινιανὸς *καὶ* στρατηλάτας τρεῖς, Βηλισάριον καὶ Κήρυκον καὶ Εἰρηναῖον *τὸν Πενταδιάστην*, μετὰ πολλῆς βοηθείας Ῥωμαϊκῆς, καὶ συγκρούσαντες πόλεμον,

cap. 3 Chron. Pasch. 617,18–21 Theoph. 174,16–18 Cedr. 642,15–643,2 Leo Gramm. 125,14 Cramer, Anecd. Paris. 2,320,14–15 Proc., Anecd. 26,10 Iustinian., Nov. 105, cap. 2 cf. Ruhin, c. 293 cap. 4 Chron. Pasch. 618,1–13 Theoph. 174,19–26 Ioann. Nic. LXXXX, 52 Cedr. 643,3–9

cap. 3 O Sl cap. 4 O Sl

21 ὡπλισμένῳ ὄντι O: ὡπλισμένου ὄντος Chilm. 24 αὐτοῦ O: αὐτοῦ Chilm. μόντον O: corr. Dind. 26 αὐτῇ Chilm.: αὐτῆς O 33–34 ante τῷ Ἰανουαρίῳ (Ἰαννουαρίῳ O: corr. Dind.) verba αὐδυναίῳ add. Chron. Pasch. 617,19 34–35 καὶ τοσαῦτα – ὑπατεύσας ex Sl Chron. Pasch. 617,20–21 (cf. Theoph. 174,18 Cedr. 642,15–16) addidi 37 Ζταθίῳ O: Τζαθίῳ Chron. Pasch. 618,1 Theoph. 174,20 38 Ἰουστινιανοῦ Sl Chron. Pasch. 618,3: Ῥωμαίων O 39 post αὐτῷ verba πλῆθος στρατιωτῶν, post Ἰουστινιανὸς verbum καὶ ex Chron. Pasch. 618,4 (cf. Sl) addidi 40 Βηλισάριον Sl Chron. Pasch. 618,5 Theoph. 174,21 Ioann. Nic. LXXXX, 52 Cedr. 643,5: Γιλδέριχ O τὸν Πενταδιάστην ex Sl cf. Chron. Pasch. 618,6 addidi: om. O Theoph. 174,22 41 μετὰ – Ῥωμαϊκῆς O: om. Sl Chron. Pasch. (v. supra ad l. 4)

τὸν καταλαβόντες ὥρμησαν ἐπὶ τὰ Περσικὰ μέρη, καὶ παρέλαβον τὰς σκηνὰς αὐτοῦ, καὶ αἰχμαλώτους δὲ ἔλαβον πλῆθος ἀνδρῶν καὶ γυναικῶν καὶ παιδίων καὶ ὅσας εὗρον καμήλους δρομαναρίας καὶ ἄλλα διάφορα κτήνη. ἔκαυσαν δὲ καὶ κάστρα Περσικὰ τέσσαρα παραλαβόντες καὶ τοὺς ἐν αὐτοῖς ὄντας Σαρακηνούς τε καὶ Πέρσας, καὶ ὑπέστρεψαν εἰς τὰ Ῥωμαϊκὰ μετὰ νίκης μηνὶ ἀπριλλίῳ, ἰνδικτιῶνος ϛ'.

17 Ὁ δὲ αὐτὸς βασιλεὺς ἀνεπλήρωσε καὶ τὸ δημόσιον τὸ ἐν Κωνσταντινουπόλει, ὃ ἤρξατο κτίζειν Ἀναστάσιος ὁ βασιλεύς, τὸ ἐπίκλην Δαγισθέου. ἔκτισε δὲ καὶ τὸ μεσίαυλον τῆς βασιλικῆς ⟨Ἅλου⟩ | κινστέρναν ⟨μεγάλην⟩, βουλόμενος εἰσαγαγεῖν ἐν αὐτῇ τὸ ὕδωρ τὸ Ἀδριάνιον. ἀνενέωσε δὲ καὶ τὸν ἀγωγὸν τῆς πόλεως.

18 Ἐν αὐτῷ δὲ τῷ χρόνῳ διεβλήθησάν τινες τῶν ἐπισκόπων ἀπὸ διαφόρων ἐπαρχιῶν ὡς κακῶς βιοῦντες περὶ τὰ σωματικὰ καὶ ἀρσενοκοιτοῦντες. ἐν οἷς ἦν Ἡσαΐας ὁ τῆς Ῥόδου ὁ ἀπὸ νυκτεπάρχων Κωνσταντινουπόλεως, ὁμοίως δὲ καὶ ὁ ἀπὸ Διὸς πόλεως τῆς Θρᾴκης, ὀνόματι Ἀλέξανδρος. οἵτινες κατὰ θεῖον πρόσταξιν ἠνέχθησαν ἐν Κωνσταντινουπόλει, καὶ ἐξετασθέντες καθηρέθησαν ὑπὸ Βίκτωρος ἐπάρχου πόλεως, ὅστις ἐτιμωρήσατο αὐτούς, καὶ τὸν μὲν Ἡσαΐαν πικρῶς βασανίσας ἐξώρισεν,

cap. 17 Chron. Pasch. 618,20–619,6 Theoph. 176,24–27 Cedr. 645,14–16 Leo Gramm. 125,22–126,1 Cramer, Anecd. Paris. 2,320,21–22 cap. 18 Theoph. 177,11–17 Cedr. 645,17–646,2 Georg. Mon. 645,1–8 Mich. Syr. 9,26 (221) Leo Gramm. 128,17–129,2 Proc., Anecd. 11,34–36

cap. 17 O cap. 18 O

32–34 καὶ αἰχμαλώτους – κτήνη O: καὶ ἤγαγον αἰχμαλωσίαν πολλὴν Σαρακηνῶν ἀνδρῶν καὶ γυναικῶν καὶ παίδων, καὶ ὅσους εὗρον Ῥωμαίους αἰχμαλώτους καὶ καμήλους καὶ πρόβατα καὶ βόας καὶ πολλὴν μέτοχον καὶ λιστισμὸν Theoph. 179,23sqq. 33 δρομαναρίας O: corr. Dind. 36 post νίκης add. μεγάλης Theoph. 179,27 37 post δημόσιον add. λουτρὸν Chron. Pasch. 618,20 Theoph. 176,25 Cedr. 645,15 38 ἐπίκλην O: εἰς τὰ Theoph. 176,25 (cf. Cedr. 618,22) Δαρισθέου O Theoph. 176,25: Δαγισθέου e Chron. Pasch. in app. crit. vl. Dind.: Δαγισθέως Cedr. 645,15 39 Ἅλου e Chron. Pasch. 619,2 Theoph. 176,27 Cedr. 645,14 addidi 39–40 κινστέρναν μεγάλην cum Chron. Pasch. 619,2 Theoph. 176,27 (cf. Cedr. 645,14) scripsi: κιγκστέρνας O, quod corr. Dind. 40–41 βουλόμενος – πόλεως O: βουλόμενος βαλεῖν τὸ Ἀδριάνειον ὕδωρ τοῦ ἀγωγοῦ εἰς αὐτήν, ὅπερ ἀγωγὸν ἀνενέωσεν ὁ αὐτὸς βασιλεύς, κατασκευασθέντα πρότερον ὑπὸ Ἀδριανοῦ βασιλέως τοῖς Βυζαντίοις εἰς τὸ ὑδρεύεσθαι πρὸ τοῦ ἱδρύεσθαι (ὑδρεύεσθαι ed.) τὰ Βυζάντιον Chron. Pasch. 619,2–6 44 Ἡσαΐας O: corr. Dind. ὁ ἀπὸ O: ἀπὸ secluserunt editores in app. crit. cons. Dind. 48–49 καὶ τὸν – κραβαταρίαν O: καὶ τοὺς μὲν ἐκαυλοκόπησε, τοῖς δὲ καλάμους ὀξεῖς ἐμβαλὼν εἰς τοὺς πόρους τῶν αἰδοίων προσέτοξε, καὶ γυμνοὺς κατὰ τὴν ἀγορὰν θριαμβευθῆναι Cedr. 645,19–21 (cf. Mich. Syr.): καὶ ἐπιμωρήθησαν δεινῶς ὑπὸ τοῦ βασιλέως, καυλοτομηθέντες καὶ πομπεύσαντες, τοῦ κυρίου βοῶντος. Ἐπίσκοποι ὄντες τὸ ἥμισυ σχῆμα μὴ ἐνδιδύσκετε Theoph. 177,13–15 48 Ἡσαΐαν O: corr. Dind.

τὸν δὲ Ἀλέξανδρον καυλοτομήσας ἐπόμπευσεν εἰς κραβαταρίαν· καὶ εὐθέως προσέταξεν ὁ αὐτὸς βασιλεὺς τοὺς ἐν παιδεραστίαις εὑρισκομένους καυλοτομεῖσθαι. καὶ συνεσχέθησαν ἐν αὐτῷ τῷ καιρῷ πολλοὶ ἀνδροκοῖται, καὶ καυλοτομηθέντες ἀπέθανον. καὶ ἐγένετο ἔκστασις φόβος κατὰ τῶν νοσούντων τὴν τῶν ἀρρένων ἐπιθυμίαν.

19 Ἐν αὐτῷ δὲ τῷ χρόνῳ ἔπαθεν ὑπὸ θεομηνίας ἐν τῇ Μυσίᾳ Πομπηιούπολις· τῆς γὰρ κινήσεως γενομένης ἐξαίφνης ἐσχίσθη ἡ γῆ καὶ ἐχαώθη τὸ ἥμισυ τῆς πόλεως μετὰ τῶν οἰκούντων, καὶ ἦσαν ὑπὸ τὴν γῆν, καὶ τὸ ἦχος αὐτῶν ἐφέρετο τοῖς περισωθεῖσι. καὶ πολλὰ ἐφιλοτιμήσατο ὁ αὐτὸς βασιλεὺς εἰς τὴν ἐκχόησιν | τοῦ περισωθῆναι τοὺς ὄντας ὑπὸ τὴν γῆν, ὡσαύτως δὲ καὶ τοῖς ζήσασι καὶ τῇ πόλει εἰς ἀνανέωσιν.

20 Ὁ δὲ αὐτὸς βασιλεὺς ἀνενέωσε τοὺς νόμους τοὺς ἐκ τῶν προλαβόντων βασιλέων θεσπισθέντας, καὶ ποιήσας νεαροὺς νόμους ἔπεμψε κατὰ πόλιν, ὥστε τὸν ἄρχοντα ἐν ᾧ τὴν ἀρχὴν ἔχει μὴ κτίζειν οἶκον ἢ ἀγοράζειν κτῆμα, εἰ μή τις συγγενὴς αὐτοῦ ὑπάρχει, διὰ τὸ μὴ βιάζεσθαι τοὺς συγκεκτημένους ἢ ἀναγκάζεσθαί τινα διὰ τὴν ἀρχικὴν προστασίαν εἰς αὐτὸν διατίθεσθαι.

Ὁμοίως δὲ καὶ περὶ τῶν φυσικῶν παίδων, ὥστε κληρονομεῖν κατὰ τὸν Ἀναστασίου τοῦ βασιλέως νόμον.

Καὶ περὶ τοῦ κληρονομοῦντος, ὥστε ἐξεῖναι αὐτῷ παραιτεῖσθαι τὴν κληρονομίαν ὅτε δ' ἂν βούληται, καὶ μὴ ἀποκλείεσθαι χρόνῳ.

cap. 19 Theoph. 216,17–22 Ioann. Eph. 225,26–226,2 Georg. Mon. 626,15–19 Chron. anon. Pseudo-Dionys. 850 Mich. Syr. 9,21 (193) Leo Gramm. 123,24–124,2 Cramer, Anecd. Paris. 2,319,13–15 Zon. 3,149,13–16 cap. 20 Theoph. 177,17–21 Chron. Pasch. 619,8–10 Cedr. 646,2–4 Mich. Syr. 9,21 (193) cf. infra cap. 38 et Rubin, c. 269

cap. 19 O cap. 20 O

54–55 *non solum haec tantae, sed alios, horrore metibus delata est, sed omnis quaedam terribilis horroris lex* add. Ioann. Eph. Παμπιούπολις O: corr. Dind. 55 post κινήσεως verba *in medio orbis* add. Ioann. Eph. (cf. Mich. Syr.) post ἐχαώθη verba *in terribilem, horrendam hiatum, ut scriptum est, descendit ad infernos* add Ioann. Eph. (cf. Mich. Syr.) 56–57 ἦσαν – περισωθεῖσι O: *et qui occiderant in foramen terribilem, horrendum sepulchrum alto in terra omnes superstantibus miserabilissimis vocibus clamaverunt per multos dies, qui fuerunt extra clamoribus de extrema altitudine vocantibus ut succurrerent non poterant* Ioann. Eph. (cf. Mich. Syr. Theoph. 216,19–20) 58 βασιλεὺς O: *insperater certos fratres* Ioann. Eph. 59 ὡσαύτως – ἀνανέωσιν O: *sed cum ne unus quidem homo adiuvari usque valuisset potuisset ullo modo, omnem dedit invalidis superstitibus, qui effugerant omnibus et omnem finem vocantum de penalis mortis quique essent salti, ut reliquias urbis renovarentur* Ioann. Eph. 61–62 καὶ ποιήσας – πόλιν O: ποιήσας μονοβίβλιον καὶ καλέσας αὐτὸ τὰς νεαρὰς διατάξεις, ἐν αἷς οὐ καταδέχεται ... Theoph. 177,18–19 (cf. Cedr. 646,3–4 Mich. Syr.) 62–63 κτίζειν – κτῆμα O: ἀγοράζειν κτῆμα, ἢ κτίζειν οἶκον, ἢ κληρονομεῖν ξένον πρόσωπον Theoph. 177,20–21 69 ἀποκλεῖσθαι O: corr. Chilm.